τεῖν ὁ λογισμὸς δύναται διὰ τὸν νόμον μήτε δενδροτομῶν τὰ ἥ-
μερα τῶν πολεμίων φυτά, τὰ δὲ τῶν ἐχθρῶν τοῖς ἀπολέσασι δια-
σῴζων καὶ τὰ πεπτωκότα συνεγείρων.
15 [15]Καὶ τῶν βιαιοτέρων δὲ παθῶν κρατεῖν ὁ λογισμὸς φαίνεται,
φιλαρχίας καὶ κενοδοξίας καὶ ἀλαζονείας καὶ μεγαλαυχίας καὶ βα-
16 σκανίας· [16]πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς
17 ἀπωθεῖται, ὥσπερ καὶ τὸν θυμόν· καὶ γὰρ τούτου δεσπόζει. [17]θυ-
μούμενός γέ τοι Μωυσῆς κατὰ Δαθαν καὶ Αβιρων οὐ θυμῷ τι
18 κατ᾽ αὐτῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διῄτησεν. [18]δυνα-
τὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, κατὰ τῶν παθῶν ἀριστεῦσαι
19 καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι, τὰ δὲ καὶ ἀκυρῶσαι. [19]ἐπεὶ διὰ τί ὁ
πάνσοφος ἡμῶν πατὴρ Ιακωβ τοὺς περὶ Συμεων καὶ Λευιν αἰτι-
ᾶται μὴ λογισμῷ τοὺς Σικιμίτας ἐθνηδὸν ἀποσφάξαντας λέγων
20 Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν; [20]εἰ μὴ γὰρ ἐδύνατο τοῦ θυμοῦ ὁ
21 λογισμὸς κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως. [21]ὁπηνίκα γὰρ ὁ θεὸς τὸν
ἄνθρωπον κατεσκεύασεν, τὰ πάθη αὐτοῦ καὶ τὰ ἤθη περιεφύτευ-
22 σεν· [22]ἡνίκα δὲ ἐπὶ πάντων τὸν ἱερὸν ἡγεμόνα νοῦν διὰ τῶν
23 αἰσθητηρίων ἐνεθρόνισεν, [23]καὶ τούτῳ νόμον ἔδωκεν, καθ᾽ ὃν πολι-
τευόμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν καὶ ἀγα-
θὴν καὶ ἀνδρείαν.
24 [24]Πῶς οὖν, εἴποι τις ἄν, εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογι-
3 σμός, λήθης καὶ ἀγνοίας οὐ κρατεῖ; [1]ἔστιν δὲ κομιδῇ γελοῖος ὁ
λόγος· οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνε-
2 ται, ἀλλὰ τῶν σωματικῶν. [2]οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι
ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρα-
3 σχέσθαι. [3]θυμόν τις οὐ δύναται ἐκκόψαι ὑμῶν τῆς ψυχῆς, ἀλλὰ
4 τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθῆσαι. [4]κακοήθειάν τις ἡμῶν
οὐ δύναται ἐκκόψαι, ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναιτ᾽
5 ἂν ὁ λογισμὸς συμμαχῆσαι· [5]οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ
λογισμός ἐστιν, ἀλλὰ ἀνταγωνιστής.
6 [6]Ἔστιν γοῦν τοῦτο διὰ τῆς Δαυιδ τοῦ βασιλέως δίψης σαφέ-
7 στερον ἐπιλογίσασθαι. [7]ἐπεὶ γὰρ δι᾽ ὅλης ἡμέρας προσβαλὼν τοῖς
ἀλλοφύλοις ὁ Δαυιδ πολλοὺς αὐτῶν ἀπέκτεινεν μετὰ τῶν τοῦ
8 ἔθνους στρατιωτῶν, [8]τότε δὴ γενομένης ἑσπέρας ἱδρῶν καὶ σφόδρα
κεκμηκὼς ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθεν, περὶ ἣν ὁ πᾶς τῶν

15 και 1⁰] + δια S*A | κρατειν] επικρ. Sc | φιλαρχιας] -αργυριας S* || 16 τα > S* || 18 δυνατος] ικανος S*† || 20 του θυμου] των -μων A || 21 τον ανθρ./κατεσκ.] tr. S† || 22 ηνικα] και τηνικαυτα A | επι] περι A† || 23 εδωκεν] δεδ. S | και 2⁰ > A† || 24 ειποι τις αν] ειποιτε S*† | ει] η S* | παθων ⌒ 3 1 παθων S*† | δεσποτης εστιν ο λογ. Ss] ο λογ. κρατει A†

3 1 επικρατειν] επι > Scpau. || 2 ου δυν./εκκοψαι] tr. S† | fin. παρεχεσθαι S* || 3 εκκοψαι υμων] tr. S | τον λογισμον > A† || 4 δυναιτ αν] -νατον A†, -ναται pl. || 8 ιδρων] pr. εσπευδεν S†